ἔτι δὲ τὴν ὑποκειμένην οὐσίαν, ὡς ὕλην μαθηματικωτέραν ἄν τις ὑπολάβοι, καὶ μᾶλλον κατηγορεῖσθαι, καὶ διαφορὰν εἶναι τῆς οὐσίας καὶ τῆς ὕλης, οἷον τὸ μέγα καὶ τὸ μικρόν· ὥσπερ καὶ οἱ φυσιολόγοι φασί, καὶ μανὸν καὶ τὸ πυκνόν, πρώτας τοῦ ὑποκειμένου φάσκοντες εἶναι διαφορὰς ταύτας. ταῦτα γάρ ἐστιν ὑπεροχή τις καὶ ἔλλειψις. περὶ δὲ κινήσεως. εἰ μὲν ἔσται ταῦτα κίνησις, δῆλον ὅτι κινήσεται τὰ εἴδη· εἰ δὲ μή, πόθεν ἦλθεν; ὅλη γὰρ ἡ περὶ φύσεως ἀνῄρηται σκέψις, καὶ ὃ δοκεῖ ῥᾴδιον εἶναι, τὸ δεῖξαι, ὅτι ἓν ἅπαντα, οὐ γίγνεται. τῇ γὰρ ἐκθέσει οὐ γίγνεται πάντα ἕν, ἀλλ' αὐτό τι ἕν, ἂν διδῷ τις πάντα· καὶ οὐδὲ τοῦτο, ἐὰν μὴ γένος διδῷ τὸ καθόλου εἶναι. τοῦτο δ' ἐν ἐνίοις ἀδύνατον. οὐδένα δ' ἔχει λόγον, οὐδὲ τὰ μετὰ τοὺς ἀριθμοὺς μήκη τε καὶ ἐπίπεδα, καὶ στερεά, οὔτε ὅπως ἐστὶν ἢ ἔσται, οὔτ' εἴ τινα ἔχει δύναμιν. ταῦτα γὰρ οὔτε εἴδη οἷόν τε εἶναι (οὐ γάρ εἰσιν ἀριθμοί) οὔτε τὰ μεταξύ (τὰ μαθηματικὰ γὰρ ἐκεῖνα) οὔτε τὰ φθαρτά· ἀλλὰ πάλιν τέταρτον ἄλλο φαίνεται τοῦτό τι γένος. ὅλως τε τὸ τῶν ὄντων ζητεῖν στοιχεῖα, μὴ διελόντας, πολλαχῶς λεγομένων, ἀδύνατον εὑρεῖν, ἄλλως τε καὶ τοῦτον τὸν τρόπον ζητοῦντας ἐξ οἵων ἐστὶ στοιχείων. ἐκ τίνων γὰρ τὸ ποιεῖν ἢ πάσχειν, ἢ τὸ εὐθύ, οὐκ ἔστι δήπου λαβεῖν, ἀλλ' εἴπερ ἐστί, τῶν οὐσιῶν μόνον ἐνδέχεται. ὥστε τὸ τῶν ὄντων ἁπάντων τὰ στοιχεῖα ἢ ζητεῖν, ἢ οἴεσθαι ἔχειν, οὐκ ἀληθές. πῶς δ' ἄν τις καὶ μάθοι τὰ τῶν πάντων στοιχεῖα; δῆλον γὰρ ὡς οὐδὲν οἷόν τε προϋπάρχειν γνωρίζοντα πρότερον. ὥσπερ γὰρ τῷ γεωμετρεῖν μανθάνοντι, ἄλλα μὲν ἐνδέχεται προειδέναι, ὧν δὲ ἡ ἐπιστήμη, καὶ περὶ ὧν μέλλει μανθάνειν, οὐδὲν προγινώσκει· οὕτω καὶ ἐπὶ τῶν ἄλλων. ὥστ' εἴ τις τῶν πάντων ἐστὶν ἐπιστήμη, ὥσπερ τινές φασιν, οὐδὲν ἂν προϋπάρχοι γνωρίζων οὗτος. καίτοι πᾶσα μάθησις διὰ προγινωσκομένων ἢ πάντων, ἢ τινῶν ἐστί, καὶ ἡ δι' ἀποδείξεως, ἢ δι' ὁρισμῶν. δεῖ γὰρ ἐξ ὧν ὁ ὁρισμός, προειδέναι καὶ εἶναι γνώριμα. ὁμοίως δὲ καὶ ἡ δι' ἐπαγωγῆς. ἀλλὰ μὴν καὶ εἰ τυγχάνει σύμφυτος οὖσα, θαυμαστὸν πῶς λανθάνομεν ἔχοντες τὴν κρατίστην τῶν ἐπιστημῶν. ἔτι πῶς τις γνωριεῖ ἐκ τίνων ἐστί, καὶ πῶς ἔσται δῆλον; καὶ γὰρ τοῦτ' ἔχει ἀπορίαν· ἀμφισβητήσειε γὰρ ἄν τις, ὥσπερ καὶ περὶ ἐνίας συλλαβάς. οἱ μὲν γὰρ τὸ σμα ἐκ τοῦ σ καὶ μ καὶ α, φασὶν εἶναι·

A Item, subiectam substantiam, vt materiam magis mathematicam, quis profectò putauerit, ac magis prædicari, & differentiam substantiæ, ac materiæ esse, veluti magnũ & paruum, sicuti aiunt Physiologi rarum, & densum: primas subiecti dicentes has differentias esse. Hæc etenim excessus quidam, & defectus sunt. De motu autem, si hæc quidem motus erunt, patet quòd species mouebuntur. Quòd si non, vnde euenit? Tota etenim de Natura consideratio B perit. Et quod facilè probare videtur, quòd omnia vnum non fit: expositione etenim, non fiunt omnia vnum. Sed ipsum vnum si quis concedat omnia, nec hoc quidem, nisi quis vniuersale concedat esse genus. Hoc autem in quibusdam impossibile. Nullam autem rationem habent: nec illæ, quæ post numeros longitudines, plana, & solida sunt, nec quomodo sunt, aut futura sunt, nec si quam vim habent: C hæc enim nec species possibile est esse: (non enim sunt numeri,) nec media: (mathematica enim illa sunt) nec corruptibilia: sed rursus quartum aliud quoddam hoc genus apparet. Et simpliciter elementa quærere entium non diuidendo, cùm multipliciter dicantur, impossibile est inuenire: præsertim cùm hoc modo quærant, ex quibus elementis est. Ex quibus enim ipsum agere, aut ipsum rectum, D non est accipere. Quod si est, substantiarum solùm esse potest. Quare aut quærere, aut putare habere omnium existentium elementa, non est verum. Quomodo verò aliquis cunctorum elementa discet? Manifestum est enim, quòd non est possibile quicquam eum cognoscere prius. Quemadmodum enim ille, qui geometriam discit, aliqua quidem præscire contingit, quorum verò illa scien- E tia est, & quæ docendus est, nihil præscit, ita & in cæteris. Quare si qua cunctorum est scientia, (vt quidam aiunt) nihil profectò is præcognoscere posset. Atqui omnis disciplina per præcognita aut omnia, aut aliqua est: & aut per demonstrationem, aut per definitiones. Ex quibus enim definitio est, illa præcognoscere oportet, ac nota esse. Similiter & quę per in- F ductionem. At si innata nobis est, mirum quomodo nos fugit, optimam scientiarum habentes. Item quo pacto quis cognoscet, ex quibus est, & quomodo manifestum erit? etenim hoc habet ambiguitatem. Dubitabit enim quispiam, sicuti & de quibusdam syllabis: quidam enim syllabam s m a, ex s & m, & a aiunt esse: